11 Σεπτεμβρίου 2026

Οσία Θεοδώρα από την Αλεξάνδρεια (11 Σεπτεμβρίου)

Θέατρο, Κινηματογράφος, Ντοκυμανταίρ, TV και Διαδίκτυο / Πολυμέσα - Multimedia / Συναξαριακές Μορφές





Καὶ σχῆμα καὶ νοῦν ἀρρενοῖ Θεοδώρα,
Καὶ τὸν μέγαν νοῦν αἰσχύνει πρὸ τοῦ τέλους.
Ἐνδεκάτῃ πύματον Θεοδώρη ὕπνον ἰαύει.

Βιογραφία
Η Οσία Θεοδώρα καταγόταν από την Αλεξάνδρεια. Έζησε στα χρόνια του βασιλιά Ζήνωνος (474 – 490 μ.Χ.) και ήταν συνεζευγμένη με ευσεβή άνδρα, τον Παφνούτιο. Η ζωή της Θεοδώρας ήταν τίμια, ενάρετη και αφοσιωμένη στο σύζυγο της. Όμως, ο μισόκαλος διάβολος, σε κάποια στιγμή αδυναμίας της Θεοδώρας, την έσπρωξε κρυφά στη μοιχεία. Κανείς δεν την είδε. Κανείς δεν το έμαθε. Μπορούσε, επομένως, να συνεχίσει αρμονικά τη ζωή της με το σύζυγο της. Όταν, όμως, άκουσε τα λόγια του Ευαγγελίου, με τα όποια ο Κύριος διδάσκει ότι «οὐκ ἐστὶ κρυπτόν, ὃ οὐ φανερὸν γενήσεται» (Λουκά, η’ 17), δεν υπάρχει, δηλαδή, κρυφό, το όποιο δε θα γίνει φανερό στο μέλλον, σκέφθηκε το βάθος της αμαρτίας της και έκλαψε πικρά. Ντύθηκε έπειτα ανδρικά, πήγε σε μοναστήρι και εκάρη μοναχός με το όνομα Θεόδωρος. Εκεί, μέρα – νύκτα μετανοούσε και έκλαιγε την αμαρτία της. Μετά από δύο χρόνια, συκοφαντήθηκε ότι πόρνευσε με γυναίκα, όταν έφεραν ένα νεογέννητο μωράκι έξω από την πόρτα του μοναστηριού. Τότε η Θεοδώρα πήρε το βρέφος και για επτά ολόκληρα χρόνια, έξω από το μοναστήρι με διάφορες κακουχίες, το ανέθρεψε σαν δικό της. Όταν επανήλθε στο μοναστήρι, το

ταλαιπωρημένο σώμα της μετά από λίγο καιρό ξεψύχησε. Τότε οι μοναχοί, όταν διαπίστωσαν το φύλο της, θαύμασαν και όλοι μαζί δόξασαν το Θεό.

Ἀπολυτίκιον
Ἦχος γ’. Θείας πίστεως.
Δῶρον ἔνθεον, ἡγιασμένον, Θεῶ ἤνεγκας, τὴν βιοτήν σου, Θεοδώρα Ὁσία πανεύφημε, τῆς μετανοίας τὸ πῦρ γὰρ ἐμφαίνουσα, μέσον ἀνδρῶν φιλοσόφως διέλαμψας, ὅθεν πρέσβευε, ἀπαύστως τῷ σὲ δοξάσαντι, δωρήσασθαι ἡμὶν τὸ μέγα ἔλεος.

Ἕτερον Ἀπολυτίκιον
Ἦχος πλ. δ’.
Ἐν σοὶ Μῆτερ ἀκριβῶς διεσώθη τὸ κατ᾽ εἰκόνα· λαβοῦσα γὰρ τὸν σταυρόν, ἠκολούθησας τῷ Χριστῷ, καὶ πράττουσα ἐδίδασκες, ὑπερορᾶν μὲν σαρκός, παρέρχεται γάρ· ἐπιμελεῖσθαι δὲ ψυχῆς, πράγματος ἀθανάτου· διὸ καὶ μετὰ Ἀγγέλων συναγάλλεται, Ὁσία Θεοδώρα τὸ πνεῦμά σου.

Κοντάκιον
Ἦχος β’. Τὰ ἄνω ζητῶν.
Τὸ σῶμα τὸ σόν, νηστείας κατατήξασα, ἀγρύπνοις εὐχαῖς, τὸν Κτίστην καθικέτευσας, τοῦ λαβεῖν συγχώρησιν, τὴν τελείαν τῆς ἁμαρτίας σου· ἣν καὶ ἔλαβες ἀληθῶς, ὁδὸν μετανοίας ὑποδείξασα.

Ἕτερον Κοντάκιον
Ἦχος α’. Χορός, Ἀγγελικὸς.
Τὴν νύκτα τῶν παθῶν, ἐκφυγοῦσα θεόφρον, προσῆλθες νοητῶς, τῷ Ἡλίῳ τῆς δόξης, ἀσκήσει νεκρώσασα, τῆς σαρκὸς τὰ σκιρτήματα· ὅθεν γέγονας, ὑπογραμμὸς μοναζόντων, καὶ ἀνόρθωσις, τῶν πεπτωκότων ἐν βίῳ” διὸ σε γεραίρομεν.

Κάθισμα
Ἦχος δ’. Ταχὺ προκατάλαβε.
Ἀσκήσει ἐλάμπρυνας, τὴν Ἱεράν σου στολήν, καὶ δῶρον προσήνεξαι, τῷ σαρκωθέντι Θεῷ, Θεοδώρα θεόπνευστε· χάριν δὲ ἰαμάτων, πρὸς αὐτοῦ εἰληφυῖα, νόσων ἀποδιώκεις, τὴν ἀχλὺν μακαρία, πρεσβεύουσα τοῦ σωθῆναι, ἡμᾶς τοὺς εὐφημοῦντάς σε.

Ὁ Οἶκος
Ὑπογραμμὸς ἀναδέδεικται πεπτωκόσιν ὁ βίος σου, καὶ βουλομένοις προσέρχεσθαι διὰ μετανοίας, τῷ εἰδότι τὰ πταίσματα συγχωρεῖν, καθὼς γέγραπται· αὐτῷ γὰρ πιστεύσασα, καθάπερ ἡ πόρνη, ἀντὶ μύρου προσήγαγες ὄμβρους δακρύων· ἐν οἷς

τὸν ὄφιν ποντίσασα καθεῖλες, καὶ τὴν νίκην ἀνεδήσω, Θεοδώρα τρισόλβιε· διὸ τὸ θηρίον νεκρώσασα εὐχαῖς σου, νεκρὸν ἐξανέστησας δυνάμει τοῦ Κτίστου σου, ὑπὲρ οὗ σὺ νενέκρωσαι· διὸ σε γεραίρομεν.

Πηγές: .optiko.net– saint.gr